23. Ἐμέμνηντο δὲ οἱ πολλοὶ καὶ τῶν Ἀττικῶν ἐκείνων σκολίων, ἅπερ καὶ αὐτὰ ἄξιόν ἐςί σοι ὑπομνημονεῦσαι, διά τε τὴν ἀρχαιότητα, καὶ ἀφέλειαν, τῶν ποιησάντων, καὶ τῶν ἐπαινȣμένων ἐπὶ ταύτῃ τῇ ἰδέᾳ τῆς ποιητικῆς, Ἀλκαίȣ τε, καὶ Ἀνακρέοντος· ὡς Ἀριςοφάνης παρίςησιν ἐν Δαιταλεῦσιν, Αἶσον δή μοι σκολιόν τι λαβὼν Ἀλκαίȣ, καὶ Ἀνακρέοντος. *Athen.* 15, 14. *p.* 693. *F.*

Vrſin. d. l. p. 149. P. Leopardus Emendatt. 12, 8. p. 249. To. 3. theſ. Gruter. Guil. Canterus Nouu. Lectt. 9, 1. p. 710. To. 3. theſ. Gruter.

24. Κλέαρχος δ᾽ ἐν δευτέρῳ Ἐρωτικῶν τὰ ἐρωτικά φησιν ᾄσματα, καὶ τὰ Λοκρικὰ καλȣ́μενα, ȣ̓δὲν τῶν Σαπφȣ̃ς, καὶ Ἀνακρέοντος, διαφέρειν. *Athen.* 14, 10. *p.* 639. *A.*

Vrſin. d. l. p. 150.

25. Καὶ τὸ Τρίγωνον δὲ καλȣ́μενον ὄργανον Ἰόβας ἐν τετάρτῳ Θεατρικῆς Ἱςορίας, Σύρων εὕρημά φησιν εἶναι, ὡς καὶ τὸν καλȣ́μενον λυροφοίνικα Σαμβύκην. Τȣ̃το δὲ τὸ ὄργανον Νεάνθης ὁ Κυζικηνὸς ἐν πρώτῳ Ὥρων, εὕρημα εἶναι λέγει Ἰβύκȣ τȣ̃ Ῥηγίνȣ ποιητȣ̃, ὡς καὶ Ἀνακρέοντος τὸ Βάρβιτον. *Athen.* 4, 23. *p.* 175. *E.*

Vrſin. d. l. p. 150.

26. Πηκτὶς δὲ, καὶ Μάγαδις, ταυτὸν, καθά φησιν ὁ Ἀριςόξενος, καὶ Μέναιχμος ὁ Σικυώνιος, ἐν τοῖς περὶ τεχνιτῶν, καὶ τὴν Σαπφὼ δέ φησιν ȣ̓́τος, ἥτις ἐςὶν Ἀνακρέοντος πρεσβυτέρα, πρώτην χρήσασθαι τῇ πηκτίδι. Ὅτι δὲ καὶ Τέρπανδρος ἀρχαιότερος Ἀνακρέοντος, δῆλον ἐκ τȣ́των. *Athen.* 14, 9. *p.* 635. *E.*

Vrſin. d. l. p. 150.

27. Χαμαιλέων δ᾽ ὁ Ποντικὸς ἐν τῷ περὶ Ἀνακρέοντος. *Athen.* 12, 8. *p*, 533. *E.*

28. Κτησάμενος τὸ τȣ̃ Μηνοδότȣ συγγραμμάτιον, καὶ ἐπιδείξας πολλοῖς ἐξ αὐτȣ̃ τὸ παρὰ τῷ Ἀνακρέοντι ζητȣ́μενον. Λαβὼν δὲ παρ᾽ ἐμȣ̃ ὁ πᾶσι κλοπὴν ὀνειδίζων Ἡφαιςίων ἐξιδιο-